ἀρθρ. ϛʹχ.

ἐς κράσεως τῶνδ᾽ ἐκτροπὴν δὴ ποικίλην,
ξύμμετρον ἀεὶ τῇ σθένους τοῦδε βλάβῃ
καὶ τῆσδ᾽ ὁμοίαν· καὶ γὰρ ἡ χυμῶν φύσις
ἐπεὶ ῥοώδης, εὐμετάβλητος πέλει
ἐπ᾽ ἐκτροπήν τε καὶ διαφθορὰν πάνυ
ἐπιῤῥεπής, καὶ ταῦτα τοῦ τῶνδε τρόχου
ἀνωμάλως ἔχοντος, ἢ ᾽κλελοιπότος,
ὡς δῆλον ἐστὶ παντί που πείρας ὕπο.

ΙΓ. Οὐ προσφυῶς οὖν ὡρίσαντο τὴν φύσιν
οἱ τήνδε χυμῶν κρᾶσιν ἠγορευκότες (γ) β. 45. 46
κινήσεως γὰρ ἐκ σθένους ὡρμημένη
ἠρτημένη τε κρᾶσις ἥδε τυγχάνει,
ἡ τῆσδε ποιότης τε καὶ συγκρασία· ιβ. 239.
ἐπεὶ τὸ θερμὸν ἐκ τάχους τῶν σφύξεων,
τὸ ψυχρὸν ἐκ βράδους δὲ τῶνδ᾽ ἤρτηθ᾽ ὅλως,
τὸ θ᾽ ὑγρὸν ὡσαύτως δὲ τὸ ξηρὸν θ᾽ ἅμα,
καὶ τῆσδ᾽ ἅπασ᾽ ὕπαρξις. οὐκ ἄρ᾽ αἰτία
κἀρχή τις ἐστιν, αἰτιατὸν δ᾽ ἐσθ᾽ ὅλη
ἡ κρᾶσις ἥδε, κοὐδὲ λεκτέα φύσις. ια. 220.

ΙΔ. Καίτοι δὲ πρὸς κίνησιν ἡ παρουσία
χυμῶν ἁπάντων οὖσα τῶν ὢν οὐκ ἄνευ.
καὶ γὰρ ῥυέντων τῶνδ᾽ ἐν ἀθρόῳ ῥόῳ,
ξύμπασ᾽ ἅμ᾽ ἡ κίνησις ἠμαύρωθ᾽ ὅση
ἐν σώματ᾽ ἐστίν· οὐ γε μὴν ὡς αἰτία

κινή-

---

(γ) Γαλην. Περὶ φύσ. ἀνθρ. ιϛ. περὶ κρίσ. γ. ιη.